23, 1 κατὰ τάδε ξύμμαχοι ἔσονται ⟨Ἀθηναῖοι καὶ⟩ [1]) Λακεδαιμόνιοι πεντήκοντα ἔτη· ἢν [[δέ]] [2]) τινες ἴωσιν ἐς [3]) τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων καὶ κακῶς ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλει [4]). ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. 2. καὶ ἤν τινες ἐς [3]) τὴν Ἀθηναίων γῆν ἴωσι πολέμιοι καὶ κακῶς ποιῶσιν Ἀθηναίους, ὠφελεῖν Λακεδαιμονίους ⟨Ἀθηναίους⟩ [5]) τρόπῳ ὅτῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν. ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις [6]) καὶ κακῶς πάσχειν ὑπ' ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλει [4]). ταῦτα δ' εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. 3. ἢν δὲ ἡ δουλεία ἐπανίστηται, ἐπικουρεῖν Ἀθηναίους Λακεδαιμονίοις παντὶ σθένει κατὰ τὸ δυνατόν. 4. ὀμοῦνται [7]) δὲ ταῦτα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς ὤμνυον ἑκατέρων. ἀνανεοῦσθαι δὲ [8]) κατ' ἐνιαυτὸν Λακεδαιμονίους μὲν ἰόντας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια, Ἀθηναίους δὲ ἰόντας ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια. 5. στήλην δὲ ἑκατέρους στῆσαι, τὴν μὲν ἐν Λακεδαίμονι παρ' Ἀπόλλωνι ἐν Ἀμυκλαίῳ, τὴν δὲ ἐν Ἀθήναις ἐν πόλει παρ' Ἀθηναίᾳ. 6. ἢν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅ,τι ἂν δοκῇ, εὔορκον ἀμφοτέροις εἶναι. 24, 1 τὸν δὲ ὅρκον ὤμνυον Λακεδαιμονίων μὲν οἵδε· Πλειστοάναξ Ἆγις Πλειστόλας Δαμάγητος Χίονις Μεταγένης Ἄκανθος Δάϊθος Ἰσχαγόρας Φιλοχαρίδας Ζευξίδας Ἄντιππος Ἀλκινάδας Τέλλις Ἐμπεδίας Μίνας Λάφιλος· Ἀθηναίων δὲ Λάμπων Ἰσθμιόνικος Λάχης Νικίας Εὐθύδημος Προκλῆς Πυθόδωρος Ἅγνων Μυρτίλος Θρασυκλῆς Θεαγένης Ἀριστοκράτης Ἰώλκιος Τιμοκράτης Λέων Λάμαχος Δημοσθένης.

Thuc. adnotat c. 24, 2 αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ ὕστερον, καὶ -- καὶ τὸ θέρος ἦρχε τοῦ ἑνδεκάτου ἔτους.

[1]) add. Krueger. [2]) del. Boehme. [3]) ἐπὶ Kirchh. [4]) πόλεε codd. [5]) add. Ullrich. [6]) Nomina transposuit Gertz. [7]) ὀμόσαι Hude. [8]) ⟨τὸν ὅρκον⟩ add. Kirchh.

421 aestate. Scione ab Atheniensibus capta. — Athenienses Delios expulsos in patriam reducunt. Thuc. V 32. — Spartani Amphipoli abeunt. c. 34. De tempore Beloch II 2² 237.

420 vere. Mantinienses, Elei, Corinthii, Chalcidenses Thraciae, Argivi foedera faciunt. Thuc. V 28—31. v. Scala *Staatsvertr.* 85.

421/0 = Ol. 89,4. ἄ. Ἀριστίων, ἐπὶ τῆς βουλῆς ᾗ Μενεκλῆς Ἀναφλύστιος (sed primis diebus Πρέπις Εὐφήρου) πρῶτος ἐγραμμάτευε. n. 370$_5$. 324 add. ad p. 155.

Tributa: ἀρχὴ XXXIV. n. 220. Nota: πόλεις αἵδε στρατιᾷ μισθὸν ἐτέλεσαν.

Ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Εὔφημος Κολλυτεὺς καὶ ξυν., οἷς Νικέας Εὐθυκλέους Ἁλιμούσιος ἐγραμμάτευε. Traditiones n. 265. 281.

421/0—416/5 rationes ἐπιστατῶν ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον. n. 370/1.

421 ἐπὶ τῆς Λεωντίδος πέμπτης πρυτανευούσης· initium operis. n. 370$_6$.

Anno senatus 422/1, Πρέπις γρ. ἐγρ.; archontis 421/0. a. II ἐπιστάται Ἐλευσινόθεν παρ' ἱεροποιῶν Ἐλευσῖνι, Θεοξένου Κεφαλῆθεν καὶ ξυν., pecuniam e primitiis accipiunt. n. 311$_7$.

Ἱπποθωντὶς ἐπρυτάνευε, Προκλῆς ἐγραμμάτευε. Decreta:
1. de Hephaestiis n. 84,
2. de Astea Aleo n. 82,
3. (ut videtur, eodem tempore) de Polystrato Phliasio n. 83.

420 vere. Spartanorum et Boeotorum foedus. Thuc. V 39, 2. v. Scala *Staatsvertr.* 86.

420/19 = Ol. 90, 1. ἄ. Ἀστύφιλος, ἐπὶ τῆς βουλῆς, ἧ Χαρῖνος Πήληξ πρῶτος ἐγραμμάτευε. n. 311_{14}. 370_{10}.

Tributa: ἀρχὴ XXXV.

Ταμίαι τῶν ἱερῶν τῆς Ἀθ. χρημάτων Εὐφίλητος Κηφισιεὺς καὶ ξυν., οἷς Ἐπιγένης Λυσάνδρου Αἰγιλιεὺς ἐγραμμάτευε. Traditiones n. 266. 282.

Praetores: Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV. Plut. Alc. 15. Nic. 10.

a. II ἐπιστάται ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον ... παρὰ ταμιῶν τῶν ἄλλων θεῶν pecuniam accipiunt. n. 370_{10}.

a. III ἐπιστάται Ἐλευσινόθεν παρὰ ἱεροποιῶν Ἐλευσῖνι, Δημοκρίτου Ἀλωπεκειῶς καὶ ξυν. pecuniam e primitiis accipiunt. n. 311_{14}.

420 aestate ante Olympia. Athenienses Alcibiade suadente foedus cum Argivis, Mantiniensibus, Eleis faciunt. Thuc. V 47; n. 86; cf. de tempore Beloch II 2^2 237, 101.

420 Boedromione. Initium fastorum Aesculapii Syll.^{3} 88. [...⁷... ἀ]νελθὼν δὲ ϑ[εὸ]ς μυστηρί[οις τοῖς μεγά[λοις κατ]ήγετο ἐς τὸ Ἐλ[[ευσίνιο]ν, καὶ οἴκοθεν | [μεταπεμ]ψάμενος δρά[κ]οντα ἦγ]αγεν δεῦρε ἐφ' [ἅ]ρματος] Τηλ[έ]μαχο[ς κ]α[τὰ χρησμό]ς. ἅμα ἦλθεν Ὑγ[[ιεια, καὶ] οὕτως ἱδρύθη | [τὸ ἱερὸ]ν τόδε ἅπαν ἐπὶ | [Ἀστυφί]λο ἄρχοντος Κυ[[δαντίδο]. Cf. libros Koertii Dragumis al. in sylloge allatos; Kutsch *Att. Heilgötter* 1913, 16. 72, cuius supplementa nunc praefert Ki. IG II^1 1650. [Τ]ηλέμαχος ἱδ[ρύσατο τὸ ἱερ]ὸν καὶ τὸν βω[μὸν τῶι Ἀσκλη]πιῶι πρῶ[τος -- Sophocli poetae (post mortem demum) ἡρῷον κατασκευάσαντες ὠνόμασαν αὐτὸν Δεξίωνα ἀπὸ τῆς τοῦ Ἀσκληπιοῦ δεξιώσεως (Et. M. Δεξίων); fuerat enim Amyni herois medici sacerdos (Ἀλωνος vita Soph. 11).

420/19 Foedus cum Haliensibus n. 87 (Αἰγηῒ]ς ἐπρυτάνευε, Νεοκλείδης ἐγραμμάτευε), eidem tempori quo Argivum commode tribuimus. Eadem prytania (Αἰγηῒς ἐπρυτάνευε, Νεοκλείδης ἐγραμμάτευε) Callias legem de Minervae Victoriae sacerdote rogat n. 25. Eodem fere tempore vel paullo ante decretum de templi porta saeptis aliis n. 88 et rationes templi Minervae Victoriae n. 89. Quod curaverant cum proprii ἐπιστάται (88_9) tum οἱ ἐπιστάται [τô νεὸ τô ἐμ πόλει ἐν | ℎôι] τὸ ἀρχαῖον ἄγαλμα i. e. Erechthei, huius potissimum templi aedificationem tunc temporis Atheniensibus curae fuisse docet. Cf. sub a. 409/8.

419/8 = Ol. 90,2. ἄ. Ἀρχίας, ἐπὶ τῆς βουλῆς, ἧ ....⁹.... πρῶτος ἐγραμμάτευε. n. 311_{21}.

Tributa: ἀρχὴ XXXVI.

Ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Λύκων Πρασιεὺς καὶ ξυν., οἷς Λυσίδικος Γαργήττιος ἐγραμμάτευε. Traditiones n. 267. 283.

Praetores: Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV.

Fasti Aesculapii. Ἀρ[χ]ίας· ἐπὶ το[ύτο οἱ Κ]ήρυκες ἠμφεσβ[ήτον τô] χωρίο καὶ ἔνια [διεκώλυ]σαν ποῆσαι Syll.^{3} 88_{13}. Erat enim locus Eleusinio vicinus.

a. III ἐπιστάται ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον ... pecuniam nullam accipiunt. n. 370_{13}.

a. IV ἐπιστάται Ἐλευσινόθεν παρὰ ἱεροποιῶν Ἐλευσῖνι -- καὶ ξυν., pecuniam e primitiis accipiunt. n. 311_{21}.

419 aest. (iam a. 420/19? Beloch *Att. Pol.* 307). Alcibiades Argos et Patras adit; Rhium munire cupit. Thuc. V 52 (διενοεῖτο τειχίσαι, sed Corinthii alii διεκώλυσαν, quare decretum de Lycone n. 93 melius ad a. 414/2 transferas).

Hieme. Argivi Alcibiade suadente Epidaurios aggrediuntur. Thuc. V 53—56. Ἀθηναῖοι δὲ Ἀλκιβιάδου πείσαντος τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν, ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις.

418 vere vel aestate ante Panathenaea (418/7). Calliae lex (cf. a. 435/4) in tabula incisa; lateri adverso decretum de reparandis arcis aedificiis, de Victoriis aureis et de administrandis Minervae pecuniis inscriptum n. 92.

418/7 = Ol. 90,3. ἄ. Ἀντιφῶν, ἐπὶ τῆς βουλῆς, ἧ ...⁸.... Ἀφιδναῖος πρῶτος ἐγραμμάτευε. n. 370_{14}. 302_1.

418 Hecatombaeone Panathenaea magna.

Ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Πυθόδωρος Ἁλαιεὺς καὶ ξυν., οἷς Φορμίων Ἀριστίωνος Κυδαθηναιεὺς ἐγραμμάτευε. n. 244. 268. Contra n. 283_3 (419/8) Χαρῖνος Ἀλεξιμάχου Πήληξ prytanis indicari videtur.

Praetores. Beloch II 2^2 265. Νικίας Νικηράτου Κυδαντίδης II, Λυσίστρατος Ἐμπέδου Ὀῆθεν VI, Λάχης Μελανώπου Αἰξωνεὺς VII, Δημοσθένης Ἀλκισθένους Ἀφιδναῖος IX, Αὐτοκλῆς Τολμαίου Ἀναφλύστιος X, Εὐθύδημος Εὐδήμου, Νικόστρατος Διειτρέφους. Cf. n. 302.

Fasti Aesculapii. Ἀν[[τιφῶν ... ἐπὶ τ]ούτο εὐ|...⁷... Syll.^{3} 88_{15}.

a. IV ἐπιστάται ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον ... παρὰ ταμιῶν τῶν ἄλλων θεῶν pecuniam accipiunt. n. 370_{14}.

418 Prytaniae I die [XXX]II quaestores Minervae hellenotamiis Ἐργοκλεῖ Ἀριστείδου Βησαιεῖ καὶ ξυν. pecuniam tradunt, quae non Demostheni ad expeditionem Argivam, sed στρατηγοῖς ἐπὶ Θρᾴκης pensa est. n. 302_1.

Agis rex Athenienses Argivos Mantinienses sociosque ad Mantineam vicit. Thuc. V 73. Sepulcrum in Ceramico publicum eorum qui occubuerant ἡνίκα Ἀρκάδας τοὺς ἐν Μαντινείᾳ καὶ Ἠλείους ἔπεισεν Ἀλκιβιάδης Λακεδαιμονίων ἀποστῆναι Paus. I 29, 13, cf. Thuc. V 74, 3 ἀπέθανον δὲ -- Ἀθηναίων ξὺν Αἰγινήταις διακόσιοι καὶ οἱ στρατηγοὶ ἀμφότεροι (i. e. Λάχης et Νικόστρατος c. 61, 1). Carneorum tempore. Thuc. V 75, 2.

Prytaniae II iidem quaestores hellenotamiis et paredris pecuniam dederunt, quod [τοῖς τριηράρχοις ἐς Ἄ]ργος τοῖς μετὰ Δημοσθένους solutum est. n. 302_{10-14}. Cf. Atheniensium et Argivorum res Epidauri gestas Thuc. V 75_5.

418 hieme. Spartani cum Argivis pacem (Thuc. V 77) nec multo post foedus (c. 79) faciunt; iidem cum Perdicca foedus pangunt et cum Chalcidensibus redintegrant. c. 80. v. Scala *Staatsvertr.* 88.

417 vere? Hyperbolus testarum suffragio expulsus. Beloch II 1^2 350. 351^1.

417 aestate prytaniis incertis quaestores Minervae per hellenotamias primo -- et Autocli, deinde Niciae et Lysistrato praetoribus pecuniam solvunt (v. a. 417/6). n. 302_{15-20}.

418/7 Πανδιονὶς ἐπρυτάνευε. Decretum de Codri, Nelei, Basiles fano urbano n. 94.

417/6 = Ol. 90, 4. ἄ. Εὔφημος, ἐπὶ τῆς βουλῆς, ᾗ ....10..... πρῶτος ἐγραμμάτευε 302_{23}.

Ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Ἀναξικράτης Λαμπτρεὺς καὶ ξυν., οἷς Εὔξενος Εὐφάνους Προσπάλτιος ἐγραμμάτευε. Traditiones n. 245. 269. Cf. 302_{23}.

Praetores. Beloch II 2^2 265. Νικίας Νικηράτου Κυδαντίδης II, Χαιρήμων Χαρικλέους Παιανιεὺς III, Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV, Τεισίας Τεισιμάχου Κεφαλῆθεν V, Κλεομήδης Λυκομήδους Φλυεὺς VII.

Fasti Aesculapii: Εὔφημος]· ἐπὶ τ[ούτο -- Syll.^{3} 88_{18}.

a. V ἐπιστάται ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον pecuniam nullam accipiunt. n. 370_{18}.

417 aestate. Αἰαντὶς ἐπρυτάνευε. Argivi expulsis popularibus foedus cum Atheniensibus redintegrant, muros instaurant. n. 96. Thuc. V 82. καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς ἦλθον τέκτονες καὶ λιθουργοί.

417 aestate. Nicias in Thracia moratur. Cf. Thuc. V 83, 4; Beloch II 2^2 238.

Prytania incerta quaestores Minervae Chaeremoni praetori εἰς τὰ ἐπὶ Θρᾴκης pecuniam solvunt. n. 302_{23-27}.

416 aestate ineunte. Expeditio Melia. Thuc. V 84. Decretum de tributis exigendis et exercitu mittendo. n. 97.

Ἐπὶ Αἰαντίδο[ς ...6... πρυτανευούσης quaestores Minervae praetoribus εἰς Μῆλον Tisiae et Cleomedi stipem dederunt; item ἐπὶ τῆς Ἀντιοχίδος --ς πρυτ. n. 302_{28-32}.

416/5 = Ol. 91, 1. ἄ. Ἀρίμνηστος, ἐπὶ τῆς βουλῆς, ᾗ ...8.... πρῶτος ἐγραμμάτευε. n. 302_{35}.

Ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Δεξίθεος Φυλάσιος καὶ ξυν., οἷς Λυσικλῆς Δρακοντίδου Βατῆθεν ἐγραμμάτευε 302_{35}. Traditiones n. 246. 270.

Praetores. Beloch II 2^2 265. Νικίας Νικηράτου Κυδαντίδης II, Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV, Τεισίας Τεισιμάχου Κεφαλῆθεν V, Λάμαχος Ξενοφάνους [Ὀῆθεν] VI, Κλεομήδης Λυκομήδους Φλυεὺς VII, Φιλοκράτης Δημέου.

Fasti Aesculapii. [Ἀρίμνηστος· -- | .]εκτ[.....12...... κα]τεσκ[εύασε. Syll.^{3} 88_{20}.

a. VI ἐπιστάται ἀγαλμάτοιν εἰς τὸ Ἡφαίστιον pecuniam nullam accipiunt. n. 370_{18}. Simulacra absoluta in templum transportantur. Expensarum rationes. n. 371.

416 aestate. Olympia. Alcibiadis victoriae Thuc. VI 16, 2. Euripides epinicium fecit. PLG^4 II 266; Foerster *Sieger ol. Spiel.* I 20, 275. Picturae Aristophontis Aglaophontis f. Satyrus ap. Ath. XII 534, FHG III 160, 1. Paus. I 22, 7 in pinacotheca propylaeorum. v. Wilamowitz *Eur. Her.* I^1 13.

416/5 vel paullo ante. Chaeredemus Euangeli f. Coelensis per Strongylionem nobilem artificem τὸν δούρειον ἵππον faciendum curat, Troiae heroum Atticorum auxilio captae monumentum. n. 535 cum nota.

416/5? hieme. Melos ἐλθούσης στρατιᾶς ὕστερον ἐκ τῶν Ἀθηνῶν ἄλλης post longam obsessionem fame et proditione capta. τὸ δὲ χωρίον αὐτοὶ ᾤκισαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες. Thuc. V 116. Inter proditores, ut nomen docet, fuerat Ἐπόνφες Ἀθεναῖος φυλε͂ς Κυθέρριος (IG XII 3, 1187) Meli sepultus; cf. Melius Κλιόνφας IG XII 3, 1181.

Diagorae causa. Arist. Av. 1071 (vere 414) τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται, | ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον, | λαμβάνειν τάλαντον; schol. RV Διαγόραν τὸν Μ.: οὗτος μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων (FHG IV 444, 4 saec. IV ante Craterum, Wil.). Schol. V ἄλλως· ταῦτα ἐκ τοῦ ψηφίσματος εἴληφεν. οὕτως γὰρ ἐκήρυξαν, τῷ μὲν ἀποκτείναντι αὐτὸν τάλαντον λαμβάνειν, τῷ δὲ ἄγοντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο κοινοποιῶν αὐτὰ καὶ μικρὰ ποιῶν κτλ. καθάπερ Κρατερὸς ἱστορεῖ (FHG IV 621, 9). ἐκκεκήρυκται δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς Μήλου. οὐδὲν γὰρ κωλύει πρότερον. Μελάνθιος δὲ ἐν τῷ περὶ μυστηρίων (l. l. fr. 5) προφέρεται τῆς χαλκῆς στήλης ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν (ἐξ- Wil.) καὶ αὐτὸν καὶ τοὺς (μὴ add. Wilamowitz *Arist.* I 287^{37}) ἐκδιδόντας Πελλανεῖς. ἐν ᾗ γέγραπται καὶ ταῦτα· ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον· ἐὰν δέ τις ζῶντα ἀγάγῃ, λαμβάνειν δύο.

Diod. XIII 6, 7 (415) τούτων δὲ πραττομένων Διαγόρας ὁ κληθεὶς ἄθεος, διαβολῆς τυχὼν ἐπ' ἀσεβείᾳ καὶ φοβηθεὶς τὸν δῆμον, ἔφυγεν ἐκ τῆς Ἀττικῆς· οἱ δ' Ἀθηναῖοι τῷ ἀνελόντι Διαγόραν ἀργυρίου τάλαντον ἐπεκήρυξαν. Cf. Lys. VI 17; v. Wilamowitz *Arist.* l. l., *Textgesch. gr. Lyr.* 80 et *Griech. Verskunst* 426^4; Drachmann *Atheism in pagan antiquity* 1922, 32; Beloch II 2^2 374.

Diagorae damnatio post Melum captam et quo tempore Hermocopidarum causa agebatur ponitur; Beloch ante Nubes et iam in primis belli Peloponnesiaci temporibus reposuit. Ac Pellenenses quidem a Lacedaemoniorum partibus steterant; sed anno 416/5 nondum redintegratum erat Atheniensium et Peloponnesiorum bellum. Nubibus (a. 423; retractatae usque ad a. c. 418) ad notas Diagorae doctrinas, non ad iudicium alludit Aristophanes (v. 830 Σωκράτης ὁ Μήλιος). Formulae ex Pisistratidarum damnatione repetitae (cf. Avium l. l.); eaedem fere a. 88 in Mithradatis de Chaeremone edicto adhibentur (Syll.^{3} 741_{26}).

415 Elaphebolione. Euripidis Troades. Ael. v. h. II 8 κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν ὀλυμπιάδα, ... πρῶτός γε ἦν Ξενοκλῆς ... Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ. τούτου δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδει καὶ Τρῳ(ά)σι καὶ Σισύφῳ σατυρικῷ. Cf. ad n. 535.

415 vere ineunte. Decreta de expeditione Siciliensi Thuc. VI 8, n. 98. 99.

415 (Tharg.) paullo ante plenam lunam. Hermocopidarum scelus B. Keil *Herm.* XXIX 1894, 352^1; Busolt III 1288; Beloch II 2^2 238 (luna ante noctis finem obierat). Thuc. VI 27.

θέρους μεσοῦντος Atheniensium classis in Siciliam proficiscitur. Thuc. VI 30, archonte etiamtum Arimnesto. Isae. 6, 14. Praetores εἰς Σικελίαν Alcibiades, Lamachus, Nicias tres pensiones a quaestoribus Minervae acceperant n. 302_{39-48}.

Ante a. 415/4 (ante 420/19?). Legem nummariam e duobus exemplaribus Siphni et Smyrnae inventis composuit Wilhelm; ed. IG XII 5, 480 (Michel 1439; Syll.³ 87). Cf. P. Gardner *Journ. Hell. stud.* XXXIII 1913, 150; Cavaignac *Études* 186.

- - εὐθυ]νόϲθω μυρία[ιϲ δραχμαῖϲ· καταθεῖν]αι δὲ τὸ ψήφιϲμα τ[όδε τὸϲ ἄ]ρχοντα[ϲ τ]ὸ[ϲ ἐ]ν ταῖϲι (τῆϲι *Sm*) πόλεϲιν [ἀναγράψανταϲ ἐν ϲτήλη]ι λιθίνηι ἐν τῆι ἀγορᾶι [ἑκάϲτηϲ τῆϲ πόλ]εωϲ καὶ τὸϲ ἐπιϲτ[άταϲ ἔμπροϲθεν τô] ἀργυροκοπίο. ταῦτα δὲ ἐπ[ιτελεῖν Ἀθεναίοϲ, ἐ]ὰμ μὴ αὐτοὶ βόλωνται· δεηθῆναι δ[ὲ αὐτῶν] τὸγ κήρυκα τὸν ἰόντ[α ὅϲα κελεύοϲιν] Ἀθηναῖοι. προϲγράψαι δ[ὲ πρὸϲ τὴν γνώμην τὴν τῆϲ] βολῆϲ τὸν γραμματέα τὸν τῆϲ [βολῆϲ· ἐάν τι]ϲ κόπτηι νόμιϲ[μα] ἀργυρίο ἐν τῆϲι πό[λεϲιν ἢ μ]ὴ χρῆται νομ[ίϲμαϲιν τοῖϲ Ἀθηνα]ίων ἢ ϲταθμοῖϲ ἢ μέτ[ροιϲ, ἀλλὰ ξενικοῖϲ νομίϲμαϲι]ν καὶ ϲ[ταθμοῖϲ καὶ μέτροιϲ, τὴν τιμωρίαν ἐ͂ναι κατὰ τὸ πρότε]ρον ψήφιϲμα, ὃ Κλέαρχ[οϲ εἶπεν. τὸϲ δὲ ἰδιώταϲ ἀποδôν]αι τὸ ξενικὸν ἀργύριον [ἕκαϲτον ὅ]ταμ βόληται, τὴν δὲ πό[λιν καταλλάττεν. ἀπογραψ]ά[ν]των δὲ τὰ αὑτô ἕκαϲτ[οι καὶ καταβαλόντων ἐϲ τὸ ἀργυ]ροκόπιον, ο[ἱ δ'] ἐπιϲτάτ[αι παραδεξάμενοι ἐϲ λευκώματα ἀνα]γράψαντεϲ κατα[θέντων ἔμπροϲθεν τô ἀργυροκο]πίο ϲκοπεῖν τῶι βο[λομένωι, ἀναγράψαντεϲ χωρὶϲ μὲν τὸ ξ]ενικόν, χω[ρὶϲ δὲ τὸ ἡμεδαπὸ]ν ἀργύρι[ον - -

Ad hanc sive ad Clearchi legem anteriorem alludit a. 415/4 Aristophanes Av. 1040 χρῆϲθαι Νεφελοκοκκυγιᾶϲ τοῖϲδε τοῖϲ (τοῖϲ αὐτοῖϲ Cobet) μέτροιϲι καὶ ϲταθμοῖϲι καὶ ψηφίϲμαϲι (νομίϲμαϲι Bergk) καθάπερ Ὀλοφύξιοι. Tempus propter formam ταῖϲι (τῆϲι) anno 420 anterius esse non certum sed probabile est. Cf. Meisterhans³ 120, 12. 121, 13; paullo recentius visum est viro nummorum peritissimo P. Gardner.

415/4 = Ol. 91, 2. ἄρχων Χαρίαϲ, ἐπὶ τῆϲ βουλῆϲ, ᾗ ..⁵..ίδηϲ πρῶτοϲ ἐγραμμάτευε. n. 302_{51}.

Tributa: ἀρχὴ XL. n. 215 et 231 hoc aut postero anno? Ταμίαι τῶν ἱερῶν χρημάτων τῆϲ Ἀθ. Λεωχάρηϲ ....⁹⁻¹⁰.... καὶ ξυν., οἷϲ Τελέαϲ Τελενίκου Περγαϲῆθεν ἐγραμμάτευε. Traditiones n. 247. 271.

Praetores. Beloch II 2² 266. Νικίαϲ Νικηράτου Κυδαντίδηϲ II, Ἀλκιβιάδηϲ Κλεινίου Σκαμβωνίδηϲ IV, Λάμαχοϲ Ξενοφάνουϲ [Ὀῆθεν] VI, Τηλέφωνοϲ.

Quaestorum Minervae pensiones n. 302_{51-71}.

Fasti Aesculapii. [Χαρίαϲ· ἐπὶ] | τούτο [.....¹².....ἀ]πὸ τô ξυλοπ[υλίο. Syll.³ 88_{23}.

415 aestate. Bellum Siciliense. — Hermocopidarum et mysteriorum profanatorum damnatio Philoch. FHG I 402, 111. Andocidis oratio περὶ μυϲτηρίων anno demum 399 habita. PA 828.

Alcibiades revocatus ad hostes aufugit et in contumaciam damnatur. Thuc. VI 61.

Prytaniae II die XX pensio ἀθλοθέταιϲ εἰϲ Παναθήναια (annua). n. 302_{57}.

415 Prytaniae III quaestorum Minervae pensio Telephono praetori facta. n. 302_{51-59}.

Prytaniae IV die VI pecunia hellenotamiis Aristocrati καὶ ξυν. data ϲτρατιώταιϲ ἐ - - n. 302_{59}.

414 hieme exeunte Athenienses ἐψηφίϲαντο τήν τε τροφὴν πέμπειν τῇ ϲτρατιᾷ καὶ τοὺϲ ἱππέαϲ. Thuc. VI 93, 4 cf. 94, 4.

414 Lenaeis. Aristophanes Amphiaraum ἐδίδαξε διὰ Φιλωνίδου. Arg. Aves.

Dionysiis Aristophanes Aves: τὸ δρᾶμα καθῆκεν εἰϲ ἄϲτυ διὰ Καλλιϲτράτου. Arg. Aves.

Prytaniae VIII die II hellenotamiis et praetori ἐν τῷ Θερμαίῳ κόλπῳ, et alii praetori ἐν Ἐ - - pecuniam dederunt. n. 302_{67}.

414 aestate. Syracusae obsessae Thuc. VI 97sqq.

Prytaniae VIII die III hellenotamiis CCC talenta data, οὗτοι δ' ἔδοϲαν [τῇ ἐν Σικελίᾳ ϲ]τρατιᾷ. n. $302_{63.\,64}$.

Prytaniae VIII die X per hellenotamias pensio ϲτρατιώταιϲ ἐμ Μ[ήλῳ - -] n. $302_{61.\,62}$.

Prytaniae VIII die XX pensio hellenotamiis εἰϲ τὰϲ ναῦϲ τὰϲ εἰϲ Σικελίαν διακομιούϲαϲ τὰ χρήματα. n. 302_{65}.

414/3 = Ol. 91, 3. ἄ. Τείϲανδροϲ.

Tributa: ἀρχὴ XLI; cf. ad a. 415/4.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆϲ Ἀθ. Τειϲαμενὸϲ Παιανιεὺϲ καὶ ξυν., οἷϲ Πολυμήδηϲ Κηφιϲίωνοϲ Ἀθηνεὺϲ ἐγραμμάτευε. Traditiones n. 248. 272. 286 (sed receperant Μεληϲι ... .⁸.... καὶ ξυν. n. 247_{194}).

Praetores. Beloch II 2² 266. Νικίαϲ Νικηράτου Κυδαντίδηϲ II, Πυθόδωροϲ Ἐπιζήλου [Ἁλαιεὺϲ] II, Χαρικλῆϲ Ἀπολλοδώρου VI (PA 15407), Δημοϲθένηϲ Ἀλκιϲθένουϲ Ἀφιδναῖοϲ IX, Κόνων Τιμοθέου Ἀναφλύϲτιοϲ X, Εὐρυμέδων Θουκλέουϲ, Δημάρατοϲ, Διειτρέφηϲ, Εὐετίων, Λαιϲποδίαϲ.

Fasti Aesculapii. Τείϲα]|νδροϲ· ἐπὶ το[ύτο ἐπεϲκ]ευάϲθη τὰ ξ[υλοπύ]λια κ|αὶ τὰ λοιπὰ [τῶν ἱ]ερῶν π|ροϲιδρύϲα[το (scil. Τηλέμαχοϲ; cf. 420/19). Syll.³ 88_{24}.

414 m. Hecatombaeone. Panathenaea magna.

Aestate exeunte. Euetion praetor cum Perdicca frustra Amphipolim aggreditur. Thuc. VII 9.

Hieme. Athenienses epistula a Nicia missa Νικίαν οὐ παρέλυϲαν τῆϲ ἀρχῆϲ, ἀλλ' αὐτῷ, ἕωϲ ἂν ἕτεροι ξυνάρχοντεϲ αἱρεθέντεϲ ἀφίκωνται, τῶν αὐτοῦ ἐκεῖ δύο προϲείλοντο, Μένανδρον καὶ Εὐθύδημον ..., ϲτρατιὰν δὲ ἄλλην ἐπεψηφίϲαντο πέμπειν ναυτικὴν καὶ πεζικὴν Ἀθηναίων τε ἐκ καταλόγου καὶ τῶν ξυμμάχων. καὶ ξυνάρχοντα αὐτῷ εἵλοντο Δημοϲθένην τε τὸν Ἀλκιϲθένουϲ καὶ Εὐρυμέδοντα τὸν Θουκλέουϲ. Thuc. VII 16, 1.

περὶ ἡλίου τροπάϲ (bruma) Eurymedon cum X navibus et CXX talentis in Siciliam missus. Thuc. VII 16, 2.

413 vere ineunte. Agis rex Deceleam munire coepit. Thuc. VII 19. 27, 3.

Vere ineunte. Demosthenes cum classe in Siciliam missus. Thuc. VII 20. Sociorum, imprimis Nesiotarum recensum, quem Thuc. postea (VII 57, 2—6) attulit, ex actis publicis haustum esse probavit v. Domaszewski *SB Heidelb. Ak.* 1920, 5. *Abh.*

Finis tributorum. Athenienses τὴν εἰκοϲτὴν ὑπὸ τοῦτον τὸν χρόνον τῶν κατὰ θάλαϲϲαν ἀντὶ τοῦ φόρου τοῖϲ ὑπηκόοιϲ ἐπέθεϲαν. Thuc. VII 28, 4.

413 Monumentum in Ceramico. Paus. I 29, 13 εἰϲὶ δὲ ἐπ' ἄλλῃ ϲτήλῃ - - οἱ πρὶν ἐϲ Σικελίαν ἀφικέϲθαι Δημοϲθένην Συρακουϲίων κρατήϲαντεϲ (cf. Euripidis carmen sub a. 413/2).

413/2 = Ol. 91, 4. ἄ. Κλεόκριτος.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Πολυξενίδης Ἀχαρνεὺς καὶ ξυν., οἷς Λευκαῖος Κωμάρχου Ἀφιδναῖος ἐγραμμάτευε. Traditiones n. 249. 273. 287.

Praetores. Νικίας Νικηράτου Κυδαντίδης II, Ἀριστοκράτης Σκελίου VII (PA 1904), Δημοσθένης Ἀλκισθένους Ἀφιδναῖος IX, Δίφιλος, Εὐρυμέδων Θουκλέους, Εὐθύδημος, Ἱπποκλῆς Μενίππου, Μένανδρος. Beloch II 2^2, 266.

Fasti Aesculapii. Κλε]όκρι|τος· ἐπὶ τού[τ]ο ἐφυτεύ[θ]|η καὶ κατέστησε κοσμή|σας τὸ τέμενος ἅπαν τέ|λει τῶι ἑαυ[τ]ô (Τηλέμαχος) Syll.^{3} 88_{28}.

413 m. Augusti d. XXVII luna deficiente Nicias Syracusis remanet. Thuc. VII 50, 4.

413 m. Carnei d. XXVII Athenienses ad Assinarum devicti. Plut. Nic. 28. — Euripidis elogium. Plut. Nic. 17 (Preger 9; Geffcken *Gr. Epigr.* 117). ὁ μὲν γὰρ Εὐρ. μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον γράφων ἐπικήδειον ἐποίησεν·

οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

Paus. I 29, 11 in eadem stela inscriptos esse testatur eos, qui in Euboea et Chii occubuerunt (v. sub a. 412/1) et τοὺς ἐν Σικελίᾳ. γεγραμμένοι δέ εἰσιν οἵ τε στρατηγοὶ πλὴν Νικίου, καὶ τῶν στρατιωτῶν ὁμοῦ τοῖς ἀστοῖς Πλαταιεῖς ....

Plebis auctoritas minuta. Probuli instituti, cf. Thuc. VIII 1, 3 ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβουλεύσουσιν. Aristoph. Lys. 467 πρόβουλε τῆσδε τῆς γῆς. Beloch II 1^2 374.

412 vere. Hippocles Menippi f. φυλακὴν ἔχων τῶν ἀπὸ τῆς Σικελίας νεῶν Peloponnesiorum naves Syracusis reduces ad Leucadem aggressus est. Thuc. VIII 13, cf. rationes quaestorum Minervae n. 303.

412/1 = Ol. 92, 1. ἄ. Καλλίας Σκαμβωνίδης.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Καλλαισχρος Εὐπυρίδης καὶ ξυν., οἷς Αὐτοκλείδης Σωστράτου Φρεάρριος ἐγραμμάτευε. Traditiones n. 250. 288. Hi usque ad mensem Thargelionem magistratu functi sunt.

Praetores (Beloch II 2^2 266). Στρομβιχίδης Διοτίμου Εὐωνυμεὺς I, Εὐκράτης Νικηράτου Κυδαντίδης II (Ar. Lys. 103), Φρύνιχος Στρατωνίδου Δειραδιώτης IV, Ὀνομακλῆς [VII, cf. PA 11476], Διομέδων, Εὐκτήμων, Θρασυκλῆς, Λέων, Σκιρωνίδης, Χαρμῖνος.

Fasti Aesculapii. Καλλίας | Σ[καμβωνίδης]· ἐπὶ τούτ|ο -- reliqua desunt. Syll.^{3} 88 extr. (reliqua desunt).

412/1 Eurytio Orchomenius honoratur. n. 103.

412 aestate. Chii, Erythraei, Clazomenii ab Atheniensibus deficiunt. Thuc. VIII 14. — Decretum c. 15, 1: τά τε χίλια τάλαντα, ὧν διὰ παντὸς τοῦ πολέμου ἐγλίχοντο μὴ ἅψασθαι, εὐθὺς λύσαντες τὰς ἐπικειμένας ζημίας τῷ εἰπόντι ἢ ἐπιψηφίσαντι -- ἐψηφίσαντο κινεῖν καὶ ναῦς πληροῦν μὴ ὀλίγας. Quod Callia archonte factum esse Philoch. ap. schol. Ar. Lys. 173 (FHG I 402, 116) docet: τὸ ἀργύριον τὸ ἄβυσσον ἦν παρὰ τῇ θεῷ ἐν τῇ ἀκροπόλει. καὶ γὰρ ἀληθῶς ἀπέκειτο χίλια τάλαντα. ἤρξαντο οὖν κινεῖν αὐτὰ ἐπὶ Κ. ἄρχοντος. Strombichides, deinde alii, cum navibus in Ioniam missi. Thuc. VIII 16. Miletus deficit. c. 17, 3.

412 Lacedaemoniorum cum Persarum rege et Thissapherne foedus (non confirmatum). Thuc. VIII 18. v. Scala *Staatsvertr.* 92.

412 Samiorum populares vincunt. Atheniensium decretum n. 101 et iusiurandum n. 102; cf. Thuc. VIII 21 Ἀθηναίων τε σφίσιν αὐτονομίαν μετὰ ταῦτα ὡς βεβαίοις ἤδη ψηφισαμένων. Bellum Ionicum c. 24—28. (hieme) 29 sqq. Rhodii ad Lacedaemonios transeunt. c. 45.

Alterum Lacedaemoniorum et Persarum regis foedus. Thuc. VIII 37; v. Scala 92. Athenienses ad Symen pugna navali victi. Thuc. VIII 42. Thissaphernes Alcibiade suadente Atheniensibus favet. c. 45.

411 vere. Pisandri leges. Thuc. VIII 67, 1 οἱ περὶ τὸν Πείσανδρον -- πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν καθ' ὅ,τι ἄριστα ἡ πόλις οἰκήσεται. 2 ἔπειτα, ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέκλῃσαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνὸν (ἔστι δὲ ἱερὸν Ποσειδῶνος ἔξω πόλεως ἀπέχον σταδίους μάλιστα δέκα), καὶ ἐσήνεγκαν οἱ ξυγγραφῆς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν ἀζήμιον εἰπεῖν γνώμην ἣν ἄν τις βούληται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν αὐτοκράτορας, καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν ὁπόταν αὐτοῖς δοκῇ. De Aristotelis Ἀθ. π. capite 32 qua fide dignum sit agere nostrum non est; cf. Thalheim *Herm.* LIV 1919, 333 et quos attulit.

Athenis ἡ δημοκρατία κατελέλυτο. Thuc. VIII 63, 3. Diitrephes ᾑρημένος ἐς τὰ ἐπὶ Θρᾴκης ἄρχειν, Thasi τὸν δῆμον κατέλυσε. Sed secundo mense Thasii ad Lacedaemonios defecerunt. Thuc. VIII 64, 2. 3. De Thasiorum rebus a. 412/1—403/2 gestis cf. Fredrich IG XII 8 p. 78.

411 Θαργηλιῶνος τετράδι ἐπὶ δέκα. Ar. Ἀθ. π. 32 ἡ βουλὴ ἡ ἐπὶ Καλλίου πρὶν διαβουλεῦσαι κατελύθη.

Θαργ. ἐνάτῃ φθίνοντος. Ar. l. l. οἱ τετρακόσιοι εἰσῄεσαν.

412/1 Θαργ. Σκιρ., 411/0 Ἑκατ. Μεταγ. ἄ. Μνασίλοχος. Ar. 33 καὶ ἦρξεν ἐξ αὐτῶν (= τετρακοσίων) δίμηνον ἐπὶ Θεοπόμπου ἄρχοντος, ὃς ἦρξε τοὺς ἐπιλοίπους δέκα μῆνας. Cf. n. 298.

412/1. Sepulcra publica in Ceramico Paus. I 29, 11 στήλην ἐπὶ τοῖσδε ἑστάναι τὴν αὐτὴν σημαίνει τὰ ἐλεγεῖα, τοῖς μὲν ἐν Εὐβοίᾳ καὶ Χίῳ τελευτήσασι, τοὺς δὲ ἐπὶ τοῖς ἐσχάτοις τῆς Ἀσιανῆς ἠπείρου διαφθαρῆναι δηλοῖ, τοὺς δὲ ἐν Σικελίᾳ (de his v. a. 413/2).

411 Lenaeis aut Elaphebolione. Aristophanis Lysistrate, cf. arg. ἐδιδάχθη ἐπὶ Κ. ἄρχοντος τοῦ μετὰ Κλεόκριτον ἄρξαντος· εἰσῆκται δὲ διὰ Καλλιστράτου.

411/0 = Ol. 92, 2 in. ἄ. Μνασίλοχος (v. supra).

411 Praetores oligarchiae. Beloch II 2² 267. Θηραμένης Ἅγνωνος Στειριεύς III, Ἀρίσταρχος [Δεκελεεύς] VIII, Ἀριστοτέλης X (PA 2057; Xen. Hell. II 3, 46), Ἀλεξικλῆς, Θυμοχάρης, Μελάνθιος (Xen. Hell. II 3, 46).

411 Ἑκατομβ. ἐνάτῃ φθίνοντος senatus pecuniam erogat, quam ταμίαι ἱερῶν χρημάτων τῆς Ἀθ. Ἀσωπόδωρος Κυδαθηναιεὺς καὶ συν., οἷς Εὔανδρος Ἐριθαλίωνος Εὐωνυμεὺς ἐγραμμάτευεν, hellenotamiis Ἀντισθένει Ἑρμείῳ καὶ συν. tradunt. n. 298. Horum quaestorum traditio n. 251.

Alcibiades ab exercitu Samum revocatus. Thuc. VIII 81 οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ καὶ μάλιστα Θρασύβουλος -- ἀπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν Alcibiadem reduxit.

Quadringenti cum hostibus paciscuntur, Eetioneam Piraei muniunt. Phrynichus Sparta redux Athenis in foro necatur. Thuc. VIII 90—92. Cf. n. 110 (a. 410/9).

Athenienses Thymochare praetore apud Eretriam certamine navali victi. Euboea praeter Oreum deficit. Thuc. VIII 95.

Quadringenti aboliti. Thuc. VIII 97. ἐπὶ δ' οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν καὶ ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν εὐθὺς τότε πρῶτον ἐς τὴν Πύκνα καλουμένην, οὗπερ καὶ ἄλλοτε εἰώθεσαν, ἐν ᾗπερ καὶ τοὺς τετρακοσίους καταπαύσαντες τοῖς πεντακισχιλίοις ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι· εἶναι δὲ αὐτῶν ὁπόσοι καὶ ὅπλα παρέχονται· καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾶς ἀρχῆς, εἰ δὲ μή, ἐπάρατον ἐποιήσαντο. ἐγίγνοντο δὲ καὶ ἄλλαι ὕστερον ⟨ἐν⟩ Πυκνὶ (πυκναὶ codd.) ἐκκλησίαι, ἀφ' ὧν καὶ νομοθέτας καὶ τἆλλα ἐψηφίσαντο ἐς τὴν πολιτείαν. Cf. Ar. Ἀθ. π. 33.

a. 411 Boedromione. Decretum alterum in Pythophanis Carystii honorem factum, postquam quadringenti dissoluti sunt, sed antequam plenum populi dominium restitueretur. IG II² 12; Wilhelm *Jahresh.* XXI/II 1923, 147.

I ....⁸....ην ....²⁰.......... στοιχ. 30.
[..γνώμ]ηι ἣν Τε[ισαμενὸς εἶπεν?]. *vac.* ante a. 411.
II [....κρ]άτης Ἰκ[αριεὺς ἐγραμμάτευεν]· 411/0
[βολῆ]ς ἐπεστάτε ....¹⁷........
... καὶ μετ' αὐτῦ π[ρόδρεyον ....⁸....]
[. Ξυ]πεταιών, Διων........¹⁶........
.. Κεφαλῆθεν, Καλ.........¹⁶........
[. Ἱ]ππομένης εἶπε· [Πυθοφάνει τῶι Καρυ]-
στίωι, ἐπειδὴ πρό[ξενός ἐστι Ἀθηναίω]-
ν καὶ εὐεργέτης κ[αὶ εὖ ποεῖ ὅ,τι δύνατ]-
αι τὴν πόλιν τὴν Ἀθ[ηναίων καὶ τὴν Καρυ]-
στίων, τὸ ψήφισμα τ[ὸ προψηφισμένον α]-
ὐτῶι ἀναγράψαι ἐν [στήληι λιθίνηι τὸ]-
ν γραμματέα τῆς βολ[ῆς τὸν νῦν γραμμα]-
τεύοντα καὶ καταθε̑[ναι ἐμ πόλει. *vac.*]
χρήματα ἃ ἐστιν Πυθοφά[νει Ἀθήνησιν]
ἢ ἄλλοθί πο ὧν Ἀθηναῖοι κ[ρατôσιν, καὶ]
[π]ερὶ τῆς νεὼς ἃ λέγει καὶ [περὶ ἐμπολη]-
[μ]άτων, μὴ ἀδικε̑ν μηδένα, κ[αὶ ἀσυλίαν ε̑]-
[ν]αι αὐτῶι καὶ τοῖς χρήμα[σι αὐτô καὶ ἀ]-
νιόντι καὶ ἀπιόντι. ταῦτ[α μὲν ἔστω ἐψ]-
ηφισμένα ὅσης Ἀθηναῖοι [κρατôσι πᾶσ]-
ι τοῖς Πυθοφάνος κατὰ τα[ὐτά· ὅπως δ' ἂν]
ταῦτα γίγνηται, τοὺς στ[ρατηγὸς τὸς α]-
[ἰ]εὶ στρατηγôντας ἐπιμ[έλεσθαι καὶ τ]-
[ὴ]ν βολὴν τὴν αἰεὶ βολεύ[οσαν. προσανα]-
[γ]ράψαι δὲ καὶ τόδε τὸ ψ[ήφισμα ἐς τὴν α]-
[ὐ]τὴν στήλην τὸν γραμμ[ατέα τῆς βολῆς].
III ἐπὶ Ἀριστοκράτος ἄρ[χοντος] a. 399/8
[ἔδ]οξ[εν] τῆ[ι] β[ολ]ῆι· Κεκρο[πὶς ἐπρυτάνε]-
[υε, ...⁷... ἐγρα]μμάτε[υε, ...¹⁰....]
......¹⁴......ς ἐπε[στάτει - - - -]

5 Arist. Ἀθ. π. 30, 4 (in constitutione rei publicae non perfecta) κληροῦν δὲ τὴν βουλὴν τοὺς ἐννέα ἄρχοντας, τὰς δὲ χειροτονίας κρίνειν πέντε τοὺς λαχόντας ἐκ τῆς βουλῆς, καὶ ἐκ τούτων ἕνα κληροῦσθαι καθ' ἑκάστην ἡμέραν τὸν ἐπιψηφιοῦντα.

411/0 inde a Boedromione = Ol. 92, 2. ἄ. Θεόπομπος.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Ἀμεινιάδης -- καὶ ξυν., οἷς ......¹³......ς ἐγραμμάτευε. Traditio n. 253.

411—408/7 Praetores classis. Beloch II² 267. Θρασύβουλος Λύκου Στειριεύς III, Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV, Εὔβουλος Xen. Hell. I 1, 22, Θράσυλλος, Χαιρέας Ἀρχεστράτου Diod. XIII 50, 7.

411/0 Praetores rei publicae restitutae Beloch II 2² 267 Θηραμένης Ἅγνωνος Στειριεύς III Xen. Hell. I 1, 12; Diod. XIII 47, 6. 49, 3. 50, 1, Κόνων Τιμοθέου Ἀναφλύστιος X. Diod. XIII 48, 6, Σίμιχος schol. Aesch. II 31, Hell. Oxyrh. II 4.

411 Bellum Hellespontium. Pugnae navales ad Κυνὸς σῆμα, et (ἀρχομένου χειμῶνος Xen. Hell. I 1, 2) ad Abydum. Cf. monumenta publica n. 950—953 huic tempori attribuenda.

411/0 hieme et vere. Archelaus Macedoniae rex cum Theramene Pydnam obsidet, Diod. XIII 49. Decretum n. 105; Wilhelm *Jahresh.* XXI/II 1923, 123 I.

410 vere. Pugna ad Cyzicum ἤδη τοῦ χειμῶνος λήγοντος Diod. XIII 49; immo m. Maio vel Iunio Beloch II 2² 241/2. 245.

410 (aestate). Democratia restituta. Beloch II 1² 397. Leges potissimas v. 410/9.

410 aestate. De pace agitur. Philoch. FHG I 403, 117 ap. schol. Eur. Or. 371 Λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης ἀπιστήσαντες Ἀθηναῖοι οὐ προσήκαντο ἐπὶ ἄ. Θεοπόμπου, ὃς ἦν πρὸ Διοκλέους (= 409/8), ὡς ἱστορεῖ Φιλόχορος. Cf. fr. 118 ibid. 771: πρὸ ἐτῶν δύο τῆς διδασκαλίας τοῦ Ὀρέστου αὐτὸς (ὁ Κλεοφῶν) ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι Ἀθηναίοις πρὸς Λακεδαιμονίους, ὡς Φιλόχορος ἱστορεῖ. De Cleophonte qui pacem impediverit cf. PA 8638. Qui hoc fere tempore decretum in Euagorae Cyprii honorem n. 113 fecisse videtur.

411/0 de Antiphonte. [Plut.] v. X or. 833 *d e* ψήφισμα ἐπὶ Θεοπόμπου ἄρχοντος, ἐφ' οὗ οἱ τετρακόσιοι κατελύθησαν, καθ' ὃ ἔδοξεν Ἀντιφῶντα κριθῆναι, ὃ Καικίλιος παρα-

τέθειται· ‘ἔδοξε τῇ βουλῇ[1]) μιᾷ καὶ εἰκοστῇ τῆς πρυτανείας· Δημόνικος Ἀλωπεκῆθεν ἐγραμμάτευε, Φιλόστρατος Παλληνεὺς ἐπεστάτει, Ἄνδρων εἶπε· περὶ τῶν ἀνδρῶν, οὓς ἀποφαίνουσιν οἱ στρατηγοὶ πρεσβευομένους[2]) εἰς Λακεδαίμονα ἐπὶ κακῷ τῆς πόλεως τῆς Ἀθηναίων, καὶ ἐκ[3]) τοῦ στρατοπέδου πλεῖν ἐπὶ πολεμίας νεὼς καὶ πεζεῦσαι διὰ Δεκελείας, Ἀρχεπτόλεμον καὶ Ὀνομακλέα καὶ Ἀντιφῶντα συλλαβεῖν καὶ ἀποδοῦναι εἰς τὸ δικαστήριον, ὅπως δῶσι δίκην· παρασχόντων δ' αὐτοὺς οἱ στρατηγοί, καὶ ἐκ τῆς βουλῆς οὕστινας ἂν δοκῇ τοῖς στρατηγοῖς, προσελομένοις[4]) μέχρι δέκα, ὅπως ἂν περὶ παρόντων γένηται ἡ κρίσις. προσκαλεσάσθωσαν[5]) (sic!) δ' αὐτοὺς οἱ θεσμοθέται ἐν τῇ αὔριον ἡμέρᾳ καὶ εἰσαγόντων, ἐπειδὰν αἱ κλήσεις ἐξήκωσιν εἰς τὸ δικαστήριον, περὶ προδοσίας[6]) κατηγορεῖν τοὺς ᾑρημένους[7]) συνηγόρους καὶ τοὺς στρατηγοὺς καὶ ἄλλους[8]), ἄν τις βούληται· ὅτου δ' ἂν καταψηφίσηται τὸ δικαστήριον, περὶ αὐτοῦ ποιεῖν κατὰ τὸν νόμον, ὃς κεῖται περὶ τῶν προδόντων.’

(834) τούτῳ[9]) ὑπογέγραπται τῷ δόγματι ἡ καταδίκη. ‘προδοσίας ὦφλον[10]) Ἀρχεπτόλεμος Ἱπποδάμου Ἀγρυλῆθεν παρών, Ἀντιφῶν Σοφίλου Ῥαμνούσιος παρών· τούτοιν ἐτιμήθη τοῖς ἕνδεκα παραδοθῆναι καὶ τὰ χρήματα δημόσια εἶναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον, καὶ τὼ οἰκία[11]) κατασκάψαι αὐτῶν καὶ ὅρους θεῖναι τοῖν οἰκοπέδοιν, ἐπιγράψαντας· ‘Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος τοῖν προδόταιν[12])’. τὼ δὲ δημάρχω[13]) ἀποφῆναι τὴν οὐσίαν αὐτοῖν[14]) καὶ μὴ ἐξεῖναι θάψαι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα Ἀθήνησι, μηδ' ὅσης Ἀθηναῖοι κρατοῦσι· καὶ ἄτιμον εἶναι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα καὶ γένος τὸ ἐκ τούτοιν, καὶ νόθους καὶ γνησίους· καὶ ἐάν τις ποιήσηταί τινα τῶν ἐξ Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος, ἄτιμος ἔστω ὁ ποιησάμενος. ταῦτα δὲ γράψαι ἐν στήλῃ χαλκῇ· καὶ ᾗπερ ἀνάκειται τὰ[15]) ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τοῦτο θέσθαι[16])’.

1) Excidit --ὶς ἐπρυτάνευε. 2) πρεσβευσαμένους R. 3) del. R. 4) -ους R., προσελόμενοι Emperius. 5) π-άσθων Herwerden. 6) δὲ add. Emperius. 7) εἱρημένους Turnebus. 8) ἄλλους aut ἄλλο idem. 9) τοῦτο ms. em. Turn. 10) ᾧ φίλον ms. em. id. 11) τῷ οἰκίᾳ ms. 12) προδόταιν ms., προδόντοιν Duebner, num melius? 13) τῷ δὲ δ-ῳ ms. 14) em. Westermann; ἀποφῆναί τε οἰκίαν ἐς τόν. 15) ᾗπερ ἂν καὶ τά ms. 16) προθέσθαι R.

410/9 = Ol. 92, 3. ἄ. Γλαύκιππος, ἐπὶ τῆς βουλῆς, ᾗ Κλειγένης Ἁλαιεὺς πρῶτος ἐγραμμάτευε. n. 304_1.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Καλλίστρατος Μαραθώνιος καὶ ξυν. n. 253_{267}, eorum traditiones n. 304, ubi omnes prytaniae nominantur. Pensiones pleraeque hellenotamiis fiunt; saepe ‘ἵπποις σῖτος ἐδόθη’ et ‘εἰς τὴν διωβελίαν’.

Praetores (Beloch II 2² 267). Ε...⁶... Εὐωνυμεύς I, Εὐκλείδης (II?), Θηραμένης Ἅγνωνος Στειριεὺς III (Diod. XIII 64, 3), Πασιφῶν Φρεάρριος IV, Ἀριστοκράτης [Σκελίου VII], Οἰνόβιος Δεκελεεὺς VIII, Δεξικράτης Αἰγιλιεὺς X, Θράσυλλος Xen. Hell. I 1, 33 al.

410 prytania prima. Decretum de democratia tuenda apud Andocidem I 96/8. Cf. R. Schoell Comm. in hon. Mommseni 1877, 459, 2; Drerup *Über die b. d. att. Rednern eingel. Urk.* 1898, 232; E. Meyer IV 232. 713. 713 A.

(96) ἔδοξε τῆι βουλῆι καὶ τῶι δήμωι· Αἰαντὶς[1]) ἐπρυτάνευε, Κλεογένης (Κλειγ-Sch.) ἐγραμμάτευε, Βόηθος ἐπεστάτει. τάδε[2]) Δημόφαντος συνέγραψεν· ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι (οἱ)[3]) λαχόντες τῶι κυάμωι, οἷς[4]) Κλεογένης (Κλει-) πρῶτος ἐγραμμάτευε. ἐάν τις δημοκρατίαν καταλύηι τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχηι καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινεὶ[5]) τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής. (97) ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν[6]) τὸν ταῦτα ποιήσαντα. ὁ δὲ ὅρκος ἔστω ὅδε· ‘κτενῶ καὶ λόγωι καὶ ἔργωι καὶ ψήφωι καὶ[7]) τῆι ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσηι τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξηι τινὰ[8]) ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν, καὶ ἐάν τις τυραννεῖν[9]) ἐπαναστῆι ἢ τὸν τύραννον συγκαταστήσηι. καὶ ἐάν τις ἄλλος ἀποκτείνηι[10]), ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τὸν[11]) Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῶι ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. (98) ἐὰν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ[12]) ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῶι στρατοπέδωι ἢ ἄλλοθί που ἐναντίοι τῶι δήμωι τῶι[13]) Ἀθηναίων, λύω καὶ ἀφίημι’. ταῦτα δὲ ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ[14]) Διονυσίων· καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

1) ἐάν τις. 2) del. Droysen. 3) add. Bekker. 4) em. Droysen; ὅτε. 5) νηποινί. 6) ἀποκτενεῖν mavult Dr. 7) καὶ λόγωι κ. ἔ. κ. ψ. καὶ add. S. Turr. coll. Lyc. § 127, delentes eadem verba (praeter unum καὶ) post ἀποκτείναντι. Similiter iam Luzac. 8) την. 9) (ἐπὶ τῶι) τυρ. Dobr. 10) κτείνηι. Deinde (αἰσθανόμενος ἢ συμβουλεύσηι ἀπικτεῖναι) suppl. Schoell; Dr. aliquid eiusmodi ante ἐὰν δέ τις (98) excidisse statuerat. 11) τῶν. 12) ἀποθάνοι A B L Z. 13) τῶν. 14) πρὸ (τῶν) Dr.

Aestate. Agis ante Athenarum portas, Thrasylli exercitum non aggreditur. Athenienses laeti ἐψηφίσαντο ὁπλίτας τε (Θράσυλλον) καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν, τριήρεις δὲ πεντήκοντα Xen. Hell. I 1, 34. Beloch II² 2,247.

Prytania II ἀθλοθέταις ἐς Παναθήναια τὰ μεγάλα (Hecatomb. 410) n. 304_6 cf. $_7$.

Prytania III pensiones hellenotamiis, quarum una Ἕρμωνι ἄρχοντι ἐς Πύλον n. 304_{7-10}.

Prytania III n. 109 γνώμη τῶν συγγραφέων de reddendis pecuniis (sacris).

Prytania IV duae pensiones hellenotamiis n. 304_{10-12}.

Prytania V una pensio hellenotamiis n. $304_{13,14}$.

Prytania VI hellenotamiis sex pensiones n. 304_{14-21}.

Prytaniae VI die XI Προξένῳ Ἀφιδναίῳ καὶ συν. στρατηγῷ ἐξ Ἐρετρίας --.

Prytania VI die XXX τὰ ἐκ Σάμου ἀνωμολογήθη ἑλληνοταμίᾳ.

Prytania VI decretum n. 108 in honorem Neapolitanorum τῶν παρὰ Θάσον, qui Atheniensibus contra Thasios et Peloponnesios fidem servaverant.

Prytania VII sex pensiones hellenotamiis n. 304_{21-27}.

Prytania VIII tres pensiones hellenotamiis n. 304_{27-30}.

Prytania VIII decretum n. 110 de Thrasybulo Calydonio, qui Phrynichum necaverat.

Prytania IX quattuor pensiones hellenotamiis n. 304_{30-36}.

Prytania IX die XXXVI τὰ ἐχ Σάμο ἀνωμολογήσατο ...⁷... Μαραθώνιος στρατηγοῖς ἐς Σάμῳ Δεξικράτει Αἰγιλιεῖ 21^{T} + 1000, Πασιφῶντι Φρεαρρίῳ 6^{T}, Ἀριστοκράτει ...⁶...ι 5^{T}, Ε...⁶... Εὐωνυμεῖ 5^{T} 3896 et singulae pensiones duobus trierarchis.

Prytania IX laudes Halicarnassensium de Atheniensium exercitu bene meritorum n. 110 a, cf. Thuc. VIII 42, 4. 108, 2.

Prytania X tres pensiones hellenotamiis n. 304_{37-40}.

410/9 temporibus incertis. Epigenis rogatio de Erechtheo conficiendo n. 111, cf. n. 372_{1} (ὁ νεὼς ὁ ἐμ πόλει ἐν ᾧ τὸ ἀρχαῖον ἄγαλμα). Decretum n. 112.

Philoch. FHG I 403, 119 ap. schol. Arist. Plut. 972 ὅτι δὲ κατὰ γράμματα ἐκληροῦντο, προείρηται. οὐ μὴν ἀλλὰ καὶ ἐβούλευον οὗτοι (οὕτως Siebelis) τῷ πρὸ τούτου ἔτει ἀρξάμενοι. φησὶ γὰρ Φιλ. ἐπὶ Γλ. ἄ. καὶ ἡ βουλὴ κατὰ γράμμα τότε πρῶτον ἐκαθέζετο, καὶ ἔτι νῦν ὄμνυσιν ἀπ᾽ ἐκείνου καθεδεῖσθαι ἐν τῷ γραμματείῳ (γράμματι Petitus Leg. Att. 196), ᾧ ἂν λάχωσι.

410/9 Acta Delia *Bull. Hell.* VIII 1884, 283, 1. θεοί· τάδε ἔπραξαν Ἀθηναίων ἀμφικτύονες οἵδε· Θεό...ος Νεοι[.]ο, Ἀγεφίον Ἀψιθύλλο, Δημόκριτος [Φ]ανίο, Ὀλυμπιόδωρος Τελεσίο ἐπὶ Γλαυκίππο Ἀθήνησι ἄρχοντος, ἐν Δήλωι ἐπὶ Ἀπημάντο ἄρχοντος· ἀργύριον παρελάβομεν παρ᾽ Ἀμφικτυόνων Θεαγγέλο Φηγαιῶς καὶ συναρχόντων καὶ νεωκόρων Δηλίων [Σ]κ[ύ]λ[ακ]ος καὶ συναρχόντων ἐν τ[ῶι ἱερ]ῶι καὶ τῶι Ἀρτεμισίωι κεφάλαιον ΔΔΧΧ𐅅ΗΗΗ𐅅.

410/9 [Lysiae] oratio pro Polystrato (XX), qui quadringentorum καταλογεὺς fuerat. PA 12076. v. Wilamowitz *Arist.* II 356.

409 Dionysiis? Euripides Ione 1575—1594 Ionem Creusae et Apollinis filium praedicat patrem eponymorum, a quibus quattuor tribus Ionicae appellatae, quorum posteri Cyclades et Asiae oram habitaturi sint; Xuthi vero e Creusa fore Dorum et Achaeum, ita ut Athenae omnium fere Graecorum patria possint existimari. De tempore Kranz De forma stasimi 1910, 43[1]; T. v. Wilamowitz-Moellendorff *Techn. d. Sophokles* 257[2].

409 ἀρχομένου τοῦ θέρους Thrasyllus cum classe Samum et Ioniam petit Xen. Hell. I 2, 1 sqq. Beloch II 2^2 248. Ad Ephesum vincitur.

409/8 = Ol. 92, 4. ἄ. Διοκλῆς, ἐπὶ τῆς βουλῆς, ᾗ Νικοφάνης Μαραθώνιος πρῶτος ἐγραμμάτευσεν (!). n. 372_{6}.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. ignoti.

Praetores. Beloch II 2^2 268. Θηραμένης Ἅγνωνος Στειριεύς III Diod. XIII 66, 1, Ἄνυτος Ἀνθεμίωνος ib. 64, 6, Θράσυλλος Xen. Hell. I 2, 15, Λεωτροφίδης Diod. XIII 65, 1, Τίμαρχος ibid.

409 pryt. I. Epistatae τοῦ νεὼ τοῦ ἐμ πόλει ἐν ᾧ τὸ ἀρχαῖον ἄγαλμα secundum decretum anni prioris (n. 111) de templi aedificatione referunt. n. 372. — Expensa huius anni n. 373.

409/8 Dracontis νόμος περὶ τοῦ φόνου tabulae inscriptus ex populi scito proponitur. n. 115. Cf. s. a. 624/3.

409 aestate? Lacedaemonii Pylum recuperant. Diod. XIII 64.

Hieme. Thrasyllus Lampsaci degit Xen. Hell. I 2, 15.

408 Elaphebolione. Euripides Oreste Lacedaemoniorum perfidiam increpat. Schol. ad hanc fab. 371 (Philoch. FHG I 403, 117).

408 vere. Athenienses Calcedonem capiunt Xen. Hell. I 3, 2.

408/7 = Ol. 93, 1. ἄ. Εὐκτήμων, ἐπὶ τῆς βουλῆς, ᾗ Δωρόθεος πρῶτος ἐγραμμάτευε. n. 313_{174}.

ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθ. Φι- - καὶ συν., οἷς ...⁷..ης Ἐλευσίνιος ἐγραμμάτευε. Traditio n. 254 c. add.

Praetores. Beloch II 2^2 268. Θηραμένης Ἅγνωνος Στειριεύς III Diod XIII 66, 5; Θράσυλλος Xen. Hell. I 4, 10.

408 (Hecatombaeone?) ἐπιστάται Ἐλευσῖνι τάδε παρελάβομεν παρὰ τῶν προτέρων ἐπιστατῶν. n. 313. Praeter multas res et supellectilem variam tradunt pecuniam ὑποθέμενοι χρυσίον τὸ ἐν τῷ ὀπισθοδόμῳ (Athenis depositum v. 174 sqq.).

Athenienses Selymbriam et Byzantium capiunt. Xen. Hell. I 3, 10. 15. Diod. XIII 66, 3. 4.

*407 Θαργηλιῶνος ἕκτῃ φθίνοντος, Πλυντηρίοις Alcibiades Athenas redit. Xen. Hell. I 4, 12; Plut. Alc. 34 [Andro ap. schol. Aristoph. Ran. 1422 contra Xenophontem dixisse videtur, Alcibiadem ἐπὶ Ἀντιγένους = a. 407/6 πρὸ ἐνιαυτοῦ τῶν Βατράχων (quae Lenaeis 405 acta) rediisse. At rediit paullo antea; abiit re vera Antigene archonte]. Clinton, Beloch alii annum 407 probaverunt; Kirchner PA I p. 47 alii annum 408 praetulerunt.

Decreta in Alcibiadis honorem. Diod. XIII 69 (a. 408) - - ὥστε ὁμολογεῖν πάντας τὴν πόλιν αἰτίαν γεγονέναι τῶν κατ᾽ ἐκείνου ψηφισμάτων. διόπερ αὐτῷ τήν τε οὐσίαν ἀπέδωκαν ἣν ἐδήμευσαν, ἔπειτα δὲ τὰς στήλας κατεπόντισαν, ἐν αἷς ἦν ἡ καταδίκη καὶ τἄλλα τὰ κατ᾽ ἐκείνου κυρωθέντα· ἐψηφίσαντο δὲ καὶ τοὺς Εὐμολπίδας ἆραι τὴν ἀράν, ἣν ἐποιήσαντο κατ᾽ αὐτοῦ, καθ᾽ ὃν καιρὸν ἔδοξεν ἀσεβεῖν περὶ τὰ μυστήρια. τὸ δὲ τελευταῖον αὐτὸν στρατηγὸν καταστήσαντες αὐτοκράτορα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἁπάσας τὰς δυνάμεις ἐνεχείρισαν αὐτῷ. εἵλαντο δὲ καὶ στρατηγοὺς ἑτέρους οὓς ἐκεῖνος ἤθελεν, Ἀδείμαντον καὶ Θρασύβουλον. Cf. Xen. Hell. I 4, 20.

*407 Decreto de Selymbrianis Alcibiades rogationem addit. n. 116_{27} sqq. Alcibiades suadet, ut Clazomeniorum qui Daphnuntem tenebant iura confirmentur n. 117.

408/7 Decreta in Oeniadis Palaesciathii honorem n. 118 et alia n. 119—121.

408/7 Rationes Erechthei n. 374.

407/6 = Ol. 93, 2. ἄ. Ἀντιγένης.

407 (Hecatombaeone?) ἐπιστάται Ἐλευσῖνι novi supellectilem et aurum in opisthodomo depositum tradunt. n. 314.

Praetores. Beloch II 2^2 268. Ἀλκιβιάδης Κλεινίου Σκαμβωνίδης IV, Θρασύβουλος Λύκου Στειριεύς III, Ἀδείμαντος Λευκολοφίδου Σκαμβωνίδης IV, Ἀριστοκράτης [Σκελίου VII], Κόνων Τιμοθέου Ἀναφλύστιος X, Φανοσθένης (Xen. Hell. I 5, 18; reliqui I 4, 10. 21).

407/6 Decretum n. 123.

*407 Boëdromione. Alcibiades cum exercitu pompam Eleusiniam tuetur. Xen. Hell. I 4, 20.

Autumno Andrum, Samum, Coum, Rhodum petit. Xen. Hell. I 4, 21; Plut. Alc. 35; Diod. XIII 69, 5; PA I p. 48.

406 m. Aprilis die XV (Busolt III 2, 1584³ ergo Antigene archonte). Xen. Hell. I 6, 1 τῷ δ' ἐπιόντι ἔτει, ᾧ ἥ τε ϲελήνη ἐξέλιπεν ἑϲπέραϲ καὶ ὁ παλαιὸϲ τῆϲ Ἀθηνᾶϲ νεὼϲ ἐν Ἀθήναιϲ ἐνεπρήϲθη [Πιτύα μὲν ἐφορεύοντοϲ, ἄρχοντοϲ δὲ Καλλίου Ἀθήνηϲιν] Lacedaemonii Callicratidem classis ducem miserunt. De hoc templo cf. notam ad n. 374 p. 184. Sed moneo hanc quaestionem summopere intricatam hoc libro solvi non posse.

*406 vere. Antiochus Alcibiadis gubernator ad Notium devincitur. Xen. Hell. I 5, 11. — Alcibiades cum iam praetor non sit electus, voluntarius patriam reliquit. PA l. l. In eius locum succesit Ἀρχέϲτρατοϲ Φρεάρριοϲ IV (Lys. XXI 8).

407/6 Minervae thesaurus ad rei publicae necessitates consumptus. n. 255. παραδεξάμενοι παρὰ τῶν προτέρων ταμιῶν (singulae res enumerantur) οἱ ἐν τῷ ἐπὶ Ἀ. ἄρχοντοϲ ἐνιαυτῶι ἄρξαντεϲ ταμίαι Καλλι -- Ἀγρυλῆθεν reliqui novem, οἷϲ -- Εὐθίου Λευκονοιεὺϲ ἐγραμμάτευε, παρέδοϲαν, ψηφιϲαμένου τοῦ δήμου, ἑλληνοταμίαιϲ -- ἐπὶ Κ. ἄρχοντοϲ -- ἐκ τοῦ πρόνεω ἐξελόμενοι. κατελείφθη ϲτέφανοϲ χρυϲοῦϲ -- cf. schol. Aristoph. Ran. 720 ἐπὶ Ἀμ. ἄλλα νικᾷ (Ἑλλάνικοϲ Bentley *FGrHist* I 4 F 172) φηϲι, χρυϲοῦν νόμιϲμα κοπῆναι, καὶ Φιλόχοροϲ (FHG I 403, 120) ὁμοίωϲ τὸ ἐκ τῶν χρυϲῶν Νικῶν.

406/5 = Ol. 93, 3. ἄ. Καλλίαϲ ὁ δεύτεροϲ ὁ Ἀγγελῆθεν.

406 Hecatomb. Panathenaea magna.

Praetores. Ἀρχέϲτρατοϲ Φρεάρριοϲ IV Mytilenae mortuus Lys. XXI 8, Περικλῆϲ Περικλέουϲ Χολαργεὺϲ V, Ἀριϲτοκράτηϲ [Σκελίου VII], Κόνων Τιμοθέου Ἀναφλύϲτιοϲ X, Ἀριϲτογένηϲ, Διομέδων, Ἐραϲινίδηϲ, Θράϲυλλοϲ, Λέων, Πρωτόμαχοϲ, Λυϲίαϲ (Diod. XIII 74, 1; Xen. Hell. I 6, 30; 7, 2; Philoch. ap. schol. Aristoph. Ran. 1196 = FHG I 403, 121). Xen. Hell. I 5, 16; Beloch II 2² 268.

Arginussae. Ar. Ἀθ. π. 34: ἔτει δ' ἑβδόμῳ (melius ἕκτῳ) μετὰ τὴν τῶν τετρακοϲίων κατάλυϲιν, ἐπὶ Καλλίου τοῦ Ἀγγελῆθεν ἄ., γενομένηϲ τῆϲ ἐν Ἀργινούϲϲαιϲ ναυμαχίαϲ, πρῶτον μὲν τοὺϲ δέκα ϲτρατηγοὺϲ τοὺϲ τῇ ναυμαχίᾳ νικῶνταϲ ϲυνέβη κριθῆναι ... ἔπειτα βουλομένων Λακεδαιμονίων ἐκ Δεκελείαϲ ἀπιέναι καὶ ἐφ' οἷϲ ἔχουϲιν ἑκάτεροι εἰρήνην ἄγειν ... (Κλεοφῶν impedivit).

De pugna ad Arginussas commissa cf. Xen. I 6, de octo praetorum causa I 7, adhibitis certe actis de concione publicis. Cannoni lex (l. l. 7, 20. 34; Aristoph. Eccl. 1089 cum schol. = Craterus FHG II 619, 5a), secundum quam iudicatum est, post restitutum plebis dominium lata erat. Ed. Meyer IV § 729.

Praetores suffecti: Ἀδείμαντοϲ Λευκολοφίδου Σκαμβωνίδηϲ IV (Xen. Hell. I 7, 1), [Κλεοφῶν] schol. Aristoph. Ran. 679; Φιλοκλῆϲ Xen. Hell. I 7, 1. Beloch l. l.

Nummi aerei: schol. Ar. Ran. 725 ἐπὶ γὰρ Καλλίου χαλκοῦν νόμιϲμα ἐκόπη. Hinc Aristophanes ipse Ranis 717 sqq. de novo auro (720 τὸ καινὸν χρυϲίον) et 725 τοῖϲ πονηροῖϲ χαλκίοιϲ queritur χθέϲ τε καὶ πρῴην κοπεῖϲι τῷ κακίϲτῳ κόμματι.

Decretum n. 124 de Ico insula.

405 Lenaeis. Aristoph. Ranae; arg. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου ... πρῶτοϲ ἦν· Φρύνιχοϲ δεύτεροϲ Μούϲαιϲ· Πλάτων τρίτοϲ Κλεοφῶντι. Anno praeterito Sophocles et Euripides poetae mortui erant.

405/4 = Ol. 93, 4. ἄ. Ἀλεξίαϲ.

405 aestate. [...ηῖϲ ἐπρυτ.] Polybi proxenia n. 125.

405 pryt. (II s.) III, ante Pyanopsionem exeuntem, qua de re cf. Beloch II 2² 243, i. e. fere Boëdromione ἐπ' Ἀ. ἄρχοντοϲ ἠτύχηϲαν τὴν ἐν Αἰγὸϲ ποταμοῖϲ ναυμαχίαν Ar. Ἀθ. π. 34, 2.

405 aestate. Κεκροπὶϲ ἐπρυτ. Samiis qui in fide remanserant, civitas concessa. IG II² 1, cf. n. 126.

405/4 hieme. Athenae a Lysandro et Pausania obsessae. Patroclidis rogatio. Andoc. I 76; cf. Droysen De Demophanti Patr. populiscitis 1873, 12; Blass *Bereds.* I² 314; Gilbert *Beitr.* 396; PA 11685; Busolt III 1626/7.

(76) καί μοι ἀνάγνωθι τὸ ψήφιϲμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο. (77) ψήφιϲμα. Πατροκλείδηϲ εἶπεν· ἐπειδὴ ἐψηφίϲαντο Ἀθηναῖοι τὴν ἄδειαν περὶ τῶν ὀφειλόντων, ὥϲτε λέγειν ἐξεῖναι καὶ ἐπιψηφίζειν, ψηφίϲαϲθαι τὸν δῆμον ταὐτὰ ἅπερ ὅτε ἦν τὰ Μηδικά, καὶ ϲυνήνεγκεν Ἀθηναίοιϲ ἐπὶ τὸ ἄμεινον. περὶ δὲ τῶν ἐπιγεγραμμένων εἰϲ τοὺϲ πράκτοραϲ ἢ τοὺϲ ταμίαϲ τῆϲ θεοῦ καὶ τῶν ἄλλων θεῶν ἢ τὸν βαϲιλέα, ἢ εἴ τιϲ μὴ ἐξεγράφη, μέχρι τῆϲ ἐξελθούϲηϲ βουλῆϲ ἐφ' ἧϲ Καλλίαϲ ἦρχεν (a. 406/5), (78) ὅϲοι ἄτιμοι ἦϲαν ἢ ὀφείλοντεϲ, καὶ ὅϲων εὔθυναί τινέϲ εἰϲι κατεγνωϲμέναι ἐν τοῖϲ λογιϲτηρίοιϲ ὑπὸ τῶν εὐθύνων ἢ τῶν παρέδρων, ἢ μήπω εἰϲηγμέναι εἰϲ τὸ δικαϲτήριον γραφαί τινέϲ εἰϲι περὶ τῶν εὐθυνῶν, ἢ προϲτάξειϲ ἢ ἐγγύαι τινέϲ εἰϲι κατεγνωϲμέναι εἰϲ τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅϲα ὀνόματα τῶν τετρακοϲίων τινὸϲ ἐγγέγραπται, ἢ ἄλλο τι περὶ τῶν ἐν τῆι ὀλιγαρχίαι πραχθέντων ἐϲτί που γεγραμμένον· πλὴν ὁπόϲα ἐν ϲτήλαιϲ γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων, ἢ [1]) ἐξ Ἀρείου πάγου ἢ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου ἢ Δελφινίου ἐδικάϲθη ἢ ὑπὸ τῶν βαϲιλέων, ἢ ἐπὶ φόνωι τίϲ ἐϲτι φυγή, ἢ θάνατοϲ κατεγνώϲθη, ἢ ϲφαγεῦϲιν ἢ τυράννοιϲ· (79) τὰ δὲ ἄλλα πάντα ἐξαλεῖψαι τοὺϲ πράκτοραϲ καὶ τὴν βουλὴν κατὰ τὰ εἰρημένα πανταχόθεν, ὅπου τι ἔϲτιν ἐν τῶι δημοϲίωι, καὶ εἴ ἀντίγραφόν που ἐϲτι, παρέχειν τοὺϲ θεϲμοθέταϲ καὶ τὰϲ ἄλλαϲ ἀρχάϲ. ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξηι τῶι δήμωι. ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆϲθαι ἰδίαι μηδενὶ ἐξεῖναι μηδὲ μνηϲικακῆϲαι μηδέποτε· εἰ δὲ μή, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταὐτὰ ἐν τοῖϲ αὐτοῖϲ ἐν οἷϲπερ οἱ ἐξ Ἀρείου πάγου φεύγοντεϲ, ὅπωϲ ἂν ὡϲ πιϲτότατα ἔχηι Ἀθηναίοιϲ καὶ νῦν καὶ εἰϲ τὸν λοιπὸν χρόνον.

[1]) ἢ - τυράννουϲ e Solonis lege ἄξων ιγ' νόμοϲ η' deprompta. Ceterum v. Blassi apperatum et adnotatas ibi Droysenii coniecturas.

v. l. 76 (τῶν ἀτίμων καὶ) τῶν ὀφ. S. coll. Dem. Timocr. 46. 79 ἐγγεγραμμένων Emp. 81 ἐπεγράφη S; ἐνεγράφη Droys. 82. 83 ἢ ὀφείλοντεϲ del. Droys. 84 καὶ τῶν π. Boeckh. 86 προϲτάξειϲ sanum non putat Blass. 95. 96 καὶ τὰ εὑρημένα Scheibe, πανταχόθεν (ζητήϲανταϲ) add. Dr. 97 εἴ (τι) add. Blass. De aliis lacunis quas sumpserunt vv. dd. videas Blassii commentarium.

404 m. Munichionis d. XVI Athenae a Lysandro captae. Plut. Lys. 15.

Pacis et foederis condiciones v. Scala *Staatsvertr.* 95. Xen. Hell. II 2, 20 ἐποιοῦντο εἰρήνην ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καθέντας τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὅποι ἂν ἡγῶνται. Addit Diod. XIII 107, 4 τῶν δὲ πόλεων πασῶν ἐκχωρῆσαι et XIV 3, 2 τῇ πατρίῳ πολιτείᾳ χρῆσθαι, quod revocavit Lysander dicens λελύσθαι τὰς συνθήκας ὑπὸ Ἀθηναίων Diod. XIV 3, 6.

Lysander Samios patria expellit. Xen. Hell. II 3, 6. Beloch II 1² 429.

Constitutio XXX virorum. Ar. Ἀθ. π. 34, 3 τῆς εἰρήνης γενομένης αὐτοῖς ἐφ' ᾧ τε πολιτεύσονται τὴν πάτριον πολιτείαν, factionum dissensum solvit Lysander optimatibus adstipulatus; καταπλαγεὶς ὁ δῆμος ἠναγκάσθη χειροτονεῖν τὴν ὀλιγαρχίαν. ἔγραψε δὲ τὸ ψήφισμα Δρακοντίδης Ἀφιδναῖος.

Lysandri monumentum Delphicum Syll.³ 115, Plut. Lys. 18; Paus. X 9, in eo ipsius statua cum carmine (Geffcken *Gr. Epigr.* 97):

εἰκόνα ἑὰν ἀνέθηκεν [ἐπ'] ἔργωι τῶιδε ὅτε νικῶν
ναυσὶ θοαῖς πέρσεν Κε[κ]ροπιδᾶν δύναμιν
Λύσανδρος, Λακεδαίμονα ἀπόρθητον στεφανώσα[ς],
Ἑλλάδος ἀκρόπολ[ιν, κ]αλλίχορομ πατρίδα.
ἐξάμου ἀμφιρύτ[ου] τεῦξε ἐλεγεῖον ⁝ Ἴων.

Monumenti Laconici dubias sane reliquias habes IG V 1, 239*ab* (n. 219 alienum est).

404/3 = Ol. 94, 1. ἄ. Πυθόδωρος.

